καὶ Ὅμηρος ἐπὶ εὐθείας·

Λοίσθος ἀνὴρ ὥριστος ἐλαύνει μώνυχας ἵππους.

ἀντὶ τοῦ ὁ ἄριστος. τὸ γὰρ ο καὶ τὸ α ἐν ταῖς κλητικαῖς συγκιρνῶνται ἢ συναλείφονται. καὶ τὸ ο καὶ α εἰς ω μέγα κιρνῶνται, ὥσπερ τὸ βόαξ βῶξ. καὶ τὸ α καὶ τὸ ο, τὰ ὅπλα θῶπλα, καὶ ἐπεὶ τὸ ὅπλον δασύνεται, τρέπεται τὸ τ εἰς θ. τοῦτο δὲ Ἀττικόν ἐστιν, εἰ γὰρ ἦν Ἰωνικὸν, οὐκ ἂν ἐτράπη, ἐπεὶ τοῖς ψιλοῖς οἱ Ἴωνες χαίρουσιν.

§. XXX. Τῷ ω ἀντὶ τοῦ α ἐν τῇ αυ διφθόγγῳ χρῶνται, ὠὐτὸς λέγοντες ἀντὶ τοῦ αὐτὸς, καὶ θωυμάσας ἀντὶ τοῦ θαυμάσας. ἐντεῦθεν λέγεται καὶ τὸ φωριαμὸς, φαριαγμὸς γάρ ἐστιν, ἢ τὰ φάρεα ἄγουσα καὶ ἔχουσα κιβωτός.

§. XXXI. Τὸ τέμνειν καὶ διαιρεῖν τὰς λέξεις Ἰώνων ἴδιον. ἀντὶγὰρ τοῦ εἰπεῖν Πελοπόννησος Πέλοπος νῆσος λέγουσι, καὶ ἀντὶ τοῦ εἰπεῖν ἀγριέλαιον ἄγριον ἔλαιον, καὶ ἄγριον αἶγα ἀντὶ τοῦ αἴγαγρον, καὶ σῦν ἄγριον ἀντὶ τοῦ σύαγρον.

§. XXXII. Αἱ παραλήψεις τῶν ἀπαρεμφάτων ἀντὶ προστακτικῶν Ἰώνων εἰσί.

Πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν. —— ——

ἀντὶ τοῦ ἀγόρευε. καί·

Πειρᾶν δ', ὅς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιούς.

ἀντὶ τοῦ πειρᾶ. καί·

Ἀρκεῖσθαι παρ' ἑοῖς, τῶν δ' ἀλλοτρίων ἀπέχεσθαι.

ἀντὶ τοῦ ἀρκοῦ καὶ ἀπέχου. καὶ μυρία ἄλλα τοιαῦτα καὶ παρ' Ὁμήρῳ καὶ παρ' Ἡσιόδῳ εὑρήσομεν.

§. XXXIII. Αἱ παραλήψεις τῶν ἀρσενικῶν ἀντὶ θηλυκῶν Ἰώνων εἰσί.

Τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν.

ἀντὶ τοῦ ἑσπέρα.

Digitized by Google

§. XXXIV. Αἱ διαιρέσεις τῶν εἰς ει ληγόντων ἑνικῶν δοτικῶν Ἰώνων εἰσὶ, βέλεϊ ἀντὶ τοῦ βέλει, ἔγχεϊ ἀντὶ τοῦ ἔγχει. Ὅμηρος·

Ἔνθ' αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη
Δῶκε μένος ἠδὲ θάρσος. — —

§. XXXV. Τὰ εἰς ω λήγοντα θηλυκὰ ἐπὶ τῆς αἰτιατικῆς εἰς συν περατοῦσι. Ἀρὴ Λητοῦν, Καπφὼ Καπφοῦν, ἠὼ ἠοῦν, αἰδὼ αἰδοῦν.

§. XXXVI. Τὸ ι ὑπεξαιροῦσιν οἱ Ἴωνες ἐνίοτε τῶν λέξεων, τὸ γὰρ πονεῖσθαι ποιέεσθαι φασὶ, καὶ τὸ δείξω δέξω, καὶ τὸ ἀποδείξω ἀποδέξω. ὡς καὶ Ἡρόδοτος· "Ἡροδότου Ἁλικαρνασσῆος ἱστορίης ἀπόδεξις ἥδε." ὡσαύτως καὶ ἐπὶ τῶν μετουσιαστικῶν καὶ κτητικῶν ὑπεξαιροῦσιν αὐτὸ, ἀργύρεος καὶ χρύσεος λέγοντες. Ὅμηρος·

Ἑκτόρεον — χιτῶνα περὶ στήθεσσι δαΐξαι.

τοῦτο καὶ οἱ Δωριεῖς ποιοῦσιν.

§. XXXVII. Αἱ ἐναναδιπλώσεις τῶν δευτέρων ἀορίστων Ἰώνων εἰσί.

— — — τετύκοντό τε δαῖτα.

λάχωσι λελάχωσι.

— — — λελάχωσι θανόντα.

κλῦθι κίκλυθι.

Κέκλυθι δὴ καὶ ἐμεῖο. — — —

καμὰν κεκαμών. εἰσὶ δὲ καὶ Δωρικαί.

§. XXXVIII. Τῇ μεταθέσει τῶν στοιχείων Ἰὰς χρῆται. οἷον καρδία κραδίη, ἀτραπτὸς ἀταρπητὸς, τάφρος τάρφος.

§. XXXIX. Τὸ διττὸν σ εἰς ξ τρέπουσιν οἱ Ἴωνες, δισσὰ διξὰ καὶ τὰ τρισσὰ τριξὰ λέγοντες.

§. XL. Οὗτοι πολλαχῶς ἐκφέρουσι τὰς εἰς εις ληγούσας εὐθείας τῶν πληθυντικῶν. εἰ μὲν γὰρ ἀπὸ τῶν εἰς ευς εὐθειῶν κλίνονται, διὰ τοῦ ηες γράφουσι, βασιλῆες, ἱππῆες, ὥσπερ καὶ τὴν ἑνικὴν γενικὴν οὕτω προφέρουσιν· εἰ δὲ ἀπὸ τῶν εἰς ης ἢ εἰς υς, διὰ τοῦ εες, οἷον ἀληθὴς, καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν παρ' ἡμῖν ἀληθεῖς καὶ Ἰωνικῶς ἀληθέες, καὶ πάλιν πολὺς πολέος, καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν πολεῖς καὶ τὸ Ἰωνικὸν πολέες, οἷον·

— — — πολέες δέ μιν ἠρήσαντο

— φορέειν. — — —

καί·

— — — ὀξέες ἦλοι.

Ἀπορήσειε δ' ἄν τις, πῶς τὰς γενικὰς, τὰς ἀπὸ τῶν εἰς υς εὐθειῶν, οὐ προφέρουσι διὰ τοῦ ηος, οἷον ἠδῆος, ὀξῆος, ὥσπερ βασιλῆος, οἰκῆος; ἔστιν οὖν εἰπεῖν, ὅτι οὐδέποτε ἡ παραλήγουσα τῆς γενικῆς μείζων θέλει εἶναι τῆς ληγούσης τῆς εὐθείας ἐπὶ τῶν περιττοσυλλάβως κλινομένων, οἷον ἡ Αἴας εὐθεῖα τὸ ας ἔχει φύσει μακρὸν· ἡ δὲ Αἴαντος γενικὴ θέσει μακρὸν ἔχει τὴν παραλήγουσαν, ἡ Λάχης φύσει μακρὰν τὴν λήγουσαν, ἀλλὰ καὶ ἡ Λάχητος γενικὴ φύσει μακρὰν ἔχει τὴν παραλήγουσαν. Ἡ γοῦν ἴση ὀφείλει εἶναι ἡ παραλήγουσα τῆς γενικῆς τῇ λήγούσῃ τῆς εὐθείας, ἢ ἐλάττων, ὡς ἐπὶ τοῦ Αἴαντος, καὶ χαρίεντος, καὶ λέοντος, οὐδέποτε δὲ μείζων. Ἐπεὶ γοῦν τὸ Πηλεὺς καὶ τὰ ὅμοια εἶχον τὴν λήγουσαν μακρὰν, ἐποίησαν καὶ οἱ Ἴωνες τὴν παραλήγουσαν τῆς γενικῆς μακρὰν, ἵν' ᾖ ἴση ἡ παραλήγουσα τῆς γενικῆς τῇ λήγούσῃ τῆς εὐθείας, μὴ οὔσης ἐνταῦθα παραβάσεως τοῦ κανόνος. Ἐπὶ δὲ τῶν ἡδὺς οὐκ ἡδύναντο τρέψαι τὴν γενικὴν τοῦ ἡδέος εἰς η, οὕτω γὰρ ηὑρίσκετ' ἂν μείζων ἡ παραλήγουσα τῆς γενικῆς τῆς ληγούσης τῆς εὐθείας, ἐπεὶ ὁ ἡδὺς βραχεῖαν ἔχει τὴν λήγουσαν, καὶ ὁ ὀξὺς καὶ τὰ τοιαῦτα, τὰ γὰρ εἰς ς λήγοντα μετὰ διχρόνου ἀποβολῇ τοῦ ς τὸ αὐδέτερον ποιοῦντα, συνεσταλμένον ἔχει τὸ δίχρονον, ὁ ἡδὺς τὸ ἡδύ.

§. XLI. Τῆς θηλείας τὸ ι ἐξαιροῦσι, καὶ ἐπὶ πάσης πτώσεως τοῦτο ποιοῦσιν. Ἡρόδοτος· "τῶν θηλέων ἵππων μίαν, τὴν ὁ Δαρείου ἵππος ἔστεργε μάλιστα." καὶ πάλιν "ἐγχρίμπτων τῇ θηλέῃ."

§. XLII. Τὸ μὴ ἐκφωνούμενον ι ἐκφωνεῖν εἰώθασιν. Ὅμηρος·

— — — ὑπερώϊον εἰσαναβᾶσα.

καί·

— — — πατρώϊος ἔστιν ἑταῖρος.

καὶ Ἡσίοδος·

Χρηΐζειν ἀπεόντος. — — — —

§. XLIII. Αἱ προσθέσεις τοῦ ι τῷ ε ἐπιφερομένου φωνήεντος, ἢ τῶν ἀμεταβόλων ἑνὸς, Ἰώνων εἰσίν. οἷον ἕως εἶως, κεινὴ ἀντὶ τοῦ κενὴ, καὶ ξεῖνος ἀντὶ τοῦ ξένος.

§. XLIV. Τὸ ἐναλλάττειν τὴν οι διφθογγον εἰς τὴν ες συλλαβὴν Ἰώνων ἐστίν. Ὅμηρος·

— — — — ἐρίηρες ἑταῖροι.

ἀντὶ τοῦ ἐρίηροι.

— — — ἐρυσάρματες—ἵπποι.

ἀντὶ τοῦ ἐρυσάρματοι.

Digitized by Google

§. XLV. Al ἐναλλαγαὶ τοῦ η εἰς α βραχὺ Ἰώνων εἰσί. μεμακυῖα ἀντὶ τοῦ μεμηκυῖα, καὶ λελασμένος ἀντὶ τοῦ λελησμένος, καὶ ἄλαστος ἀντὶ τοῦ ἄληστος. Εἰ δέ τις λέγει, ὡς πῆ μὲν τὸ α εἰς η τρέπουσιν, ὡς Ἥρα Ἥρη, Τιτὰν Τιτὴν· πῆ δὲ τὸ η εἰς α; ἴστω, ὡς ὁ μὲν α εἰς η τρέπουσιν, ὅτε ἐστὶ τὸ α μακρὸν, τὸ δὲ η εἰς α οὐχ ἁπλῶς, ἀλλ' ὅτε ἐστὶ τὸ βραχύ· αἱ δὲ ἐναλλαγαὶ τοῦ βραχέος α εἰς η τῶν μεταγενεστέρων Ἰώνων εἰσίν. ὡς τόδε δὴ ἐς τὴν ἀληθείην ἥκουσιν."

§. XLVI. Αἱ ἀφαιρέσεις τῶν κατ' ἀρχὴν συμφώνων Ἰώνων εἰσίν· εἶβεν ἀντὶ τοῦ λείβειν, καὶ αἶδος ἀντὶ τοῦ δειδὸς, καὶ ἆα ἀντὶ τοῦ γαῖα.

§. XLVII. Ἀεὶ τὴν ων συλλαβὴν περισσὴν τιθέασι μεταξὺ τῶν προθέσεων, ἐξ ὧν εἶον καὶ ἀπ' ὧν ἔδοντο, ἀντὶ τοῦ ἐξεῖλον καὶ ἀπέδοντο. ἡ ἐξωσείλον καὶ ἀπωσέδοντο, ἴτονα.

§. XLVIII. Ὅτι τὰ πρῶτα φωνήεντα στοιχεῖα τῶν λέξεων ἀφαιροῦνται οἱ Ἴωνες· ἐκεῖνος κεῖνος, ἐχθὲς χθὲς, ἑορτὴ ὁρτή.

§. XLIX. Τὸ ἀναστρέφειν τὰς λέξεις Ἰώνων ἐστὶν ἴδιον, οἷον

— — — — ὄρνιθες ὅς.

καί·

Ὦι ἔπι πόλλ' ἐμόγησα. — — —

ἀντὶ τοῦ ὡς ὄρνιθες, καὶ ἐπὶ ᾧ πολλὰ ἐμόγησα.

§. L. Καὶ τὰ ὑπέρβατα Ἰώνων εἰσίν. οἷον·

Αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν.

ἀντὶ τοῦ διέβησαν. τὰ γὰρ σύνθετα μετὰ προθέσεως ῥήματα διαλύοντες, καὶ μεταξὺ τιθέντες τὰ ὀνόματα, τὰ ὑπέρβατα ποιοῦσιν. ὡς τό·

— — λέων κατὰ ταῦρον ἐδηδώς.

ἀντὶ τοῦ κατεδηδώς. καί·

— — κατὰ δ' ἔκτανεν Ἠετίωνα.

ἀντὶ τοῦ κατέκτανε. καί·

— — κατὰ βοῦς ὑπερίονος Ἠελίοιο

Ἥσθιον. — — — — — —

ἀντὶ τοῦ κατήσθιον.

§. LI. Αἱ διαιρέσεις τῶν εἰς ως ληγόντων ἐπιῤῥημάτων τῶν ἀπὸ γενικῶν πληθυντικῶν γινομένων, ὧν ἡ εὐθεῖα εἰς ης καὶ εἰς ες περατοῦται, καὶ εἰς ους ἔχει τὴν γενικὴν τῶν ἐνικῶν, Ἰώνων εἰσίν. οἷον εὐσεβὴς εὐσεβοῦς, καὶ ἡ γενικὴ τῶν πληθυντικῶν εὐσεβῶν, καὶ τροπῇ τοῦ ν εἰς σ εὐσεβῶς. ἀληθὴς ἀληθοῦς, ἡ γενικὴ τῶν πληθυντικῶν ἀληθῶν, καὶ τροπῇ τοῦ ν εἰς σ ἀληθῶς, καὶ τἄλλα ὁμοίως. Ταῦτα οὖν καὶ τὰ τοιαῦτα διαροῦσιν οἱ Ἴωνες ὁμοίως τοῖς ὀνόμασιν, ἀληθέως λέγοντες, καὶ ἀτρεκέως, καὶ εὐσεβέως. ἐπὶ δὲ τοῦ ὁσίων ὁσίως καὶ δικαίων δικαίως καὶ θαυμαστῶν θαυμαστῶς οὐκέτι. τούτων γὰρ αἱ γενικαὶ οὐκ εἰσὶν ους λήγουσιν, ἵνα ὦσι διηρημέναι καὶ κατὰ τὰ ὀνόματα, καὶ κατὰ τὰ ἐπιῤῥήματα.

§. LII. Οἱ μὲν Δωριεῖς, ὡς εἴρηται, ἐκτεινομένῳ χρῶνται ἀεὶ τῷ α, τρέποντες τὸ η εἰς αὐτὸ, οἷον ἥλιος ἅλιος, νῆσος νᾶσος, σελήνη σελάνα. οἱ δὲ Ἴωνες συστελλομένῳ χρῶνται τῷ α.

§. LIII. Ἁπλῶς δὲ εἰπεῖν, καὶ Προσθέσει καὶ Ἀφαιρέσει κέχρηνται, καὶ Ἐπεκτάσει καὶ Συγκοπῇ. ἔστι δὲ ἡ μὲν Πρόσθεσις τῇ Ἀφαιρέσει ἐναντία, ἡ δὲ Ἐπέκτασις τῇ Συγκοπῇ.

Καὶ Πρόσθεσις μέν ἐστιν, ὅταν ἐν τῇ πρώτῃ συλλαβῇ τῆς λέξεως παραληφθῇ τι στοιχεῖον. οἷον ἕνεκα εἵνεκα, καί·

— — — Ἴλιον εἴσω,

ἀντὶ τοῦ ἔσω, μόνος μοῦνος, ὄρος οὖρος, ὅλος οὖλος. ἐγὼ δὲ ταῦτα Προσθέσεις οὐχὶ λέγω, ἀλλὰ Παρενθέσεις, ὡς καὶ ἐκεῖνα, ἕνατος εἴνατος, πένοντες πνείοντες. Ὅμηρος·

Οἱ δ' ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί.

καί·

Ἡμῖν δ' εἰνατός ἐστι περιτροπέων ἐνιαυτός.

Πρόσθεσιν δὲ λέγω, ὅταν ἐν ἀρχῇ τοῦ λόγου καὶ ἕτερον παραληφθῇ στοιχεῖον, οἷον·

— μοῦνος ἐὼν — — —

ὢν γὰρ ἦν. σταφὶς ἀστραφὶς, πᾶς ἅπας, εἰλόπεδον θειλόπεδον. ἔστι δὲ τοῦτο καὶ Ἀττικόν. κἄν τε γοῦν Πρόσθεσις ᾖ, κἄν τε Παρένθεσις, τῶν Ἰώνων ἐστίν. ἀλλὰ καὶ τὰ ἐναντία τούτων. ἔστι δὲ ἐναντία τούτων, ὡς εἴρηται, ἡ Πρόσθεσις τῇ Ἀφαιρέσει, ἡ δὲ Παρένθεσις τῇ Ἐλλείψει.

Ἔστι δὲ Ἀφαίρεσις ἡ κατ' ἀρχὰς ἄρσις, ἐκεῖνος κεῖνος, ἐχθὲς χθὲς, ἐμὲ μὲ, ἐκεῖσε κεῖσε, ἑορτὴ ὁρτή.

Ἔλλειψις δὲ ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον οὐ ποιοῦντος συλλαβὴν, οἷον αἰμύξαι ἀμύξαι, ἑταῖρος ἔταρος. ἔστι δὲ τοῦτο καὶ Ἀττικόν. Ταῦτα γοῦν ἴδια Ἰώνων εἰσὶν, ἥ τε Πρόσθεσις, λέγω, καὶ ἡ Παρένθεσις, καὶ ἡ Ἀφαίρεσις, καὶ ἡ Ἔλλειψις, καὶ ἔτι ἡ Συγκοπὴ, ἥτις ἐστὶν ἐναντία τῇ Ἐπεκτάσει.

Digitized by Google

Ἔστι δὲ Συγκοπὴ μὲν ἔκθεσις μιᾶς συλλαβῆς κατὰ τὸ μέσον τῆς λέξεως· οἷον ὄψομαι οἶμα, κακόμορος κάμμορος, ἑξαίρετος ἔξαιτος, ἁρμόσαντες ἄρσαντες.

Ἐπέκτασις δέ, ἡ καὶ Παρέκτασις, πλεονασμὸς μιᾶς συλλαβῆς κατὰ τὸ μέσον. οἷον ἀδελφὸς ἀδελφεὸς, κενὸς κενεὸς, ἕτμος ἑτήτυμος. ἔστι δὲ ὅτε γίνεται καὶ Συγκοπὴ δύο συλλαβῶν· οἷον Δευκαλιωνίδης Δευκαλίδης. ταύτῃ δὲ τῇ Συγκοπῇ χρῶνται καὶ οἱ Αἰολεῖς, χρῶνται δὲ καὶ ταῖς Διαιρέσεσι. οἷον·

Ἤιδεα γὰρ κατὰ θυμὸν ἀδελφεὸν, ὡς ἐπονεῖτο.

ἡ Διαίρεσις δὲ τῇ Συναλοιφῇ ἐναντία.

Ἔστι δὲ Συναλοιφὴ δύο φωνηέντων συνηρημένων εἰς μίαν συλλαβὴν ἕνωσις. οἷον τὸ ὄνομα τοὔνομα. καὶ ἔστιν ἴδιον τοῦτο τῶν Ἀττικῶν.

Ἡ δὲ Ἀναδίπλωσις, ὡς ἔφαμεν, ἰδία τῶν Ἰώνων. οἷον λάχωσι λελάχωσι, παρὲκ κεκαμὲν, παλὲν πεπαλέν.

Ἀλλὰ καὶ ἡ Ἄρσις αὐτῶν ἐστίν. οἷον βεβλημένος βλήμενος. ἔστι δὲ ἡ Ἀναδίπλωσις ἐναντία τῇ Ἄρσει.

Πάλιν ἡ μὲν Συστολὴ τῶν Ἰώνων ἐστίν. οἷον·

Ῥόχθει δὲ μέγα κῦμα ποτὶ ξερὴν ἠπείροιο.

ἀντὶ τοῦ ξηρόν. καί·

——————νέας ἀμφιελίσσας.

ἀντὶ τοῦ νῆας· συνεστάλη γὰρ Ἰωνικῶς τὸ η εἰς ε.

Ἡ δὲ Ἔκτασις Ἀττικῶν ἐστιν, τρέπουσα τὰ βραχέα εἰς μακρὰ, τιθέμεναι τιθήμεναι.

Πάλιν ὁ μὲν λεγόμενος Προσχηματισμὸς τῶν Ἰώνων ἐστί. ἔστι δὲ ὁ Προσχηματισμὸς πλεονασμὸς συλλαβῆς κατὰ τὸ τέλος. οἷον θεοῖς θεοῖσι, σοφοῖς σοφοῖσι. Μούσαις Μούσαισιν. οὗτος δὲ ἐναντίος ἐστι τῇ Ἀποκοπῇ. ἔστι δὲ αὕτη τῶν Δωριέων. οἷον ἵδρῶτα ἱδρῶ. Ὅμηρος·

——————ἱδρῶ ἀπεψύχοντο——

κυκεῶνα κυκεῶ.

Πάλιν ἡ Παρέμπτωσις, ἥτις ἦν ἐναντία τῇ Ἐκθλίψει, τῶν Ἰώνων ἐστίν. οἷον λεγόμεθα λεγόμεσθα. ἔστι δὲ καὶ τῶν Δωριέων.

Ἡ δὲ Ἔκθλιψις τῶν Δωριέων μόνων ἐστίν. οἷον σκῆπτρον σκᾶπτον.

Πάλιν καὶ τὸ Διπλασιάζειν ἤτοι ὁ Διπλασιασμὸς τῶν Ἰώνων ἐστὶν, ὃς ἐστιν ἐναντίος τῇ Παρελλείψει.

Ἔστι δὲ ὁ Διπλασιασμὸς, ὅταν τινὶ τῶν συμφώνων τὸ αὐτὸ σύμφωνον προστεθῇ. οἷον ὅττι ὅττι.

————ὅ, ττι κεν εἴπω.

ὅσσον ὅσσον, τόσσον τόσσον. Ὅμηρος·

——ὅ, τι τόσσον ἐχώσατο Φοῖβας Ἀπόλλων.

Παρέλλειψις δέ ἐστιν, ὅταν ἔν τι τῶν διπλασιαζομένων παραλείπηται· οἷον κάλλιων κάλιον· καί ἐστι τῶν Δωριέων.

§. LIV. Ὅτι τῶν Ἰώνων ἴδιον τὸ ἀποβάλλειν τῆς ει διφθόγγου τὸ ε. οἷον μείζων μίζων, κρείσσων κρίσσων. ἔστι δὲ τοῦτο Ἔλλειψις. Ἔλλειψις δέ ἐστιν, ὡς προέφημεν, ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον, οἷον ἐστὶ καὶ τὸ αἰμύξαι ἀμύξαι.

§. LV. Ὅτι τὸ ἐπὰν ἐπεὰν λέγουσιν. Ἡρόδοτος· "ἐπεὰν ἐκβῇ ἐς τὴν γῆν ἐκ τοῦ ὕδατος ὁ κροκόδειλος."

§. LVI. Τὸ γὰρ ἐνταῦθα ἐνθαῦτά φασιν ἐναλλαγμένως. Ἡρόδοτος· "ἐνθαῦτα ὁ τραχὺς εἰσδύνων." ὡς ἀπὸ τοῦ ἔνθα.

§. LVII. Ζωὴν λέγουσι καὶ τὴν ζῶσαν γυναῖκα, ὡς ἀπὸ τοῦ ζωός.

§. LVIII. Τὸ λίαν κάρτα λέγουσι.

§. LIX. Τὸ μέγεθος μέγαθος λέγουσιν. Ἡρόδοτος ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν "πρόσωπον δὲ ἐς τὰ μάλιστα ἐπίγρυπον, μέγαθος ὅσον κρέξ."

§. LX. Τὸ ε καὶ τὸ ο εἰς τὴν ευ δίφθογγον κιρνᾶται παρ' αὐτοῖς. Ἡρόδοτος· "ἐς τοῦτον ὀρέων πῖνέ τε καὶ τέρπευ, ἔσεαι γὰρ ἀποθανέων τοιοῦτος." καὶ πλεῦνας τοὺς πλέονας. "μετὰ τὴν Ἑλένης ἁρπαγὴν—Ἑλλήνων στρατιὴν πολλὴν βοηθεῦσαν Μενελάῳ." καὶ οἱ Δωριεῖς δὲ, ὡς εἴρηται, οὕτω ποιοῦσιν.

§. LXI. Τὸ σφίσι σφὶν λέγουσιν. Ὅμηρος·

Ὅς σφιν ἐὐφρονέων ἀγορήσατο, καὶ μετέειπεν.

§. LXII. Τὸν συμπλεκτικὸν μὲν σύνδεσμον ἀντὶ τοῦ παραπληρωματικοῦ μὴν προσλαμβάνουσιν. ὡς παρ' Ἡροδότῳ· "μὴ μὲν ἔχειν Ἑλένην."

§. LXIII. Ἀντὶ τοῦ ἕως οὗ, ἐς ὃ λέγουσιν. Ἡρόδοτος· "ἐς ὃ ἐξεῖλον."

§. LXIV. Τὸ πάλιν αὖτις ἀεὶ λέγουσι, καὶ οὐκ αὖθις.

§. LXV. Τοῦ ἐπιτήδειος τὸ ι ὑπεξαιροῦσι, καὶ ἐπιτήδεος λέγουσιν. Ἡρόδοτος· "ἵνα πυνθάνοιτο εἶναι τῆς ἐνηβητήρια ἐπιτηδεώτατα."

§. LXVI. Ἡ κρᾶσις τοῦ ι καὶ ε εἰς ι μακρὸν τῶν Ἰώνων ἐστίν. ἱερεὺς ἰρεὺς, ἱέραξ ἴραξ, καὶ τροπῇ τοῦ α εἰς η ἴρηξ, κατὰ τὴν αὐτὴν διάλεκτον. Ἡσίοδος·

Digitized by Google

Ὣδ' ἶρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον.

καὶ ὄφιες ὄφις Ἰωνικόν.

§. LXVII. Τὸ τέμνειν τάμνειν λέγουσιν. Ἡρόδοτος ἐν δευτέρῳ· "τοὺς ἱερέας τοὺς ἐν Αἰγύπτῳ συλλέξαντας πάντας μέσους διατάμνειν." καὶ Ἱπποκράτης· "φλέβα τάμνειν."

§. LXVIII. Τοῦ ἐνέγκω ἀφαιροῦντες τὸ γ, καὶ ἀντ' αὐτοῦ ἐπεντιθέμενοι τὸ ι, ἐνείκω λέγουσιν. Ἡρόδοτος μυριαχοῦ τούτῳ χρῆται.

§. LXIX. Τὸ ἐκπλεύσας ἐκπλώσας λέγουσιν. Ἡρόδοτος· "κατὰ λῆξιν ἐκπλώσαντες."

§. LXX. Τὸ σφεῖς καὶ σφᾶς καὶ σφῶν διαιροῦσι καὶ οὕτω προφέρουσι· σφέες, σφέας, σφέων. Ὅμηρος·

Ἀλλά σφεας κρατερὸς Διομήδης ἐξενάριξε.

§. LXXI. Καὶ τὸν νοῦν καὶ τὸν ῥοῦν καὶ τὸν χροῦν διαλύουσι, καὶ λέγουσι νόον καὶ ῥόον καὶ χρόα. Ὅμηρος·

——ταμεσίχροα χαλκὸν——

καὶ Ἡρόδοτος· "οἱ οὐκ ἐπὶ νόον τρέπουσιν Αἰθιόπων παισίν."

§. LXXII. Τῇ εἰπὼν οὐ χρῶνται, ἀλλὰ τῇ εἶπας μετοχῇ ἀορίστου πρώτου, προφέροντες ὡς τύψας.

§. LXXIII. Εἰρώτα διὰ διφθόγγου γράφουσι καὶ οἶμαι διὰ τοῦτο, ἐπεὶ συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν. ἔστι παρ' αὐτοῖς ὁ παρατατικὸς ἐρώτα, καὶ πλεονασμῷ τοῦ ι εἰρώτα. οὕτως καὶ τὸ ἐπανείρετο, παρ' αὐτοῖς διὰ τῆς ει διφθόγγου γραφόμενον. ἢ ἀπὸ τοῦ θέματος προσλαμβάνει τὴν ει διφθόγγου. ἔστι γὰρ ἐρωτῶ καὶ ἔρω, καὶ γίνεται παρενθέσει τοῦ ι εἰρωτῶ καὶ εἶρω, καὶ τὸ παθητικὸν εἴρομαι, εἰράμην, εἶρον, εἶρετο.

§. LXXIV. Ἔτι οἱ Ἴωνες τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν παθητικῶν παρακειμένων οὕτω ποιοῦσιν. ἐν τοῖς τρίτοις προσώποις τῶν ἑνικῶν, τοῖς ἔχουσι πρὸ τοῦ τ ψιλὸν, τρέπουσι τὸ ψιλὸν εἰς τὸ ἀντιστοιχοῦν δασὺ, καὶ ποιοῦσι προσθήκην τοῦ α· νένικται νενίφαται, λέλεκται λελέχαται, γέγραπται γεγράφαται. πᾶν γὰρ τρίτον ἑνικὸν, ἔχον πρὸ τοῦ τ ψιλὸν, τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ προσθέσει τοῦ α ποιοῦσιν οἱ Ἴωνες τὸ τρίτον τῶν πληθυντικῶν. εἰ δέ τοι εἴη τὸ κοινὸν διὰ τοῦ σ βαρύτονον, τότε καὶ τὸ Ἰωνικὸν ἔχει πρὸ τοῦ αται τὸ χαρακτηριστικὸν σύμφωνον τοῦ μέσου παρακειμένου, πέφρασται πεφράδαται, ὅτι πέφραδα. ἥλευσται ἠλεύθαται, ὅτι ἥλευθα. εἰ μέντοι ἀπὸ περισπωμένων φύσει μακρᾷ παραληγόμενον, ταύτην συστέλλουσι πρὸ τοῦ αται εἰς τὴν ὀφειλομένην συστολήν. πεποίηται πεποιέαται, βεβόηται βεβοέαται.

§. LXXV. Ἔτι στοιχοῦσιν οἱ Ἴωνες ἐπὶ τῶν εἰς δου ληγόντων ἐπὶ τῆς γενικῆς πατρωνυμικῶν ταῖς ἐπεκτάσεσι, Πηληϊάδου λέγοντες καὶ Λαερτιάδου. ὤφειλε γὰρ Λαερτίδου εἶναι ἡ γενικὴ καὶ Πηληΐδου, ἐπειδὴ τὰ εἰς δης πατρωνυμικὰ μιᾷ συλλαβῇ περιττοσυλλαβοῦσι τῆς γενικῆς τοῦ πρωτοτύπου, οἷον Πηλέως Πηλείδης, Πριάμου Πριαμίδης. οὕτω καὶ Λαέρτου Λαερτίδης ὤφειλεν εἶναι τὸ πατρωνυμικόν. ἀλλ' οἱ Ἴωνες παιοῦσιν ἐπέκτασιν καὶ οὕτω προφέρουσι, Λαερτιάδης λέγοντες καὶ Πηληϊάδης. εἶτα κατ' ἔκτασιν Ἀττικὴν Πηληϊάδης γίνεται.

§. LXXVI. Χρῶνται δὲ καὶ ταῖς μεταθέσεσιν. ἔστι δὲ Μετάθεσις, ὅταν ἡ τὸ πρῶτον στοιχεῖον τῆς ἰδίας συλλαβῆς γίνηται δεύτερον, οἷον ἀτρακτὸς ἀταρκτός· ἐκ γὰρ τοῦ τρέπεσθαι γέγονε καὶ τοῦ α στερητικοῦ, καὶ σημαίνει τὴν εὐθεῖαν ὁδόν· εἶτα γέγονε μετάθεσις τοῦ πρώτου στοιχείου καὶ λέγεται ἀταρκτός· ἢ τὸ δεύτερον πρότερον, οἷον καρδία κραδία, καρτερὸς κρατερὸς, τέταρτον τέτρατον. Ὅμηρος·

Τέτρατον ἦμαρ ἦεν, καὶ τῷ τετέλεστο ἅπαντα.

§. LXXVII. Ἰστέον δὲ, ὡς διαφέρει Μετάθεσις Ὑπερθέσεως. ἡ μὲν γὰρ Μετάθεσις ἐν τῇ αὐτῇ συλλαβῇ γίνεται, ἡ δὲ Ὑπέρθεσις ἐν ἑτέρᾳ. ὡς τὸ ὀθνεῖος· ἦν γὰρ νόθος νοθεῖος καὶ καθ' ὑπέρθεσιν ὀθνεῖος. καὶ πάλιν γόνυ γόνυος καὶ δόρυ δόρυος, καὶ καθ' ὑπέρθεσιν γουνὸς καὶ δουρός. χρῶνται δὲ καὶ τούτῳ τῷ πάθει οἱ Ἴωνες.

§. LXXVIII. Ἔτι χρῶνται καὶ οὗτοι παραλήγουσι εὐθειῶν ἀντὶ γενικῶν, ὅσπερ οἱ Ἀττικοί. οἷον·

Οἱ δὲ δύω σκόπελοῖ, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει.
ἀντὶ τοῦ τῶν δύο σκοπέλων ὁ μὲν τόδε, ὁ δὲ τόδε.

§. LXXIX. Εἰδέναι δεῖ, ὡς ἡ μὲν ἀρχαία Ἰὰς μετέπεσε παρὰ τὴν τῶν κατοικούντων περιτροπήν. διέμεινε δὲ ἕως ἐκείνου τοῦ καιροῦ, ἐφ' ᾧ ἐποίησαν οἱ Ἴωνες τὰς ἀποικίας, καὶ διεσπάρησαν εἰς τόπους πλείονας.

§. LXXX. Λέγεται δὲ παρ' αὐτοῖς τὸ μὲν ὑγιαίνειν, οὐλεῖν. ὅθεν καὶ τὰ ὑγιῆ τῶν τραυμάτων οὐλὰς λέγομεν.

§. LXXXI. Ὁ δὲ λόγος, μῦθος.

§. LXXXII. Καὶ τὸ μαντεύεσθαι, ἀνελεῖν.

§. LXXXIII. Καὶ οἱ τόποι, ἐν οἷς ἀναστρέφονται, ἤθη.

Digitized by Google

§. LXXXIV. Καὶ τὸ ἐπιμελῶς, ἀνακῶς.
§. LXXXV. Ἀντὶ τοῦ ξενίην ἐδωρήσατο, ξενίην συνεθήκατο.
§. LXXXVI. Καὶ ἀντὶ τοῦ ἀπατητικῶς ἢ ἐπιμελῶς, ἐπιστρεφέως.
§. LXXXVII. Τὸ ἠκούσης ἐχούσης λέγουσι.
§. LXXXVIII. Τὸ θυμωθεὶς καὶ ταραχθεὶς, σπερχθεὶς.
§. LXXXIX. Λέγεται παρ' αὐτοῖς ὁ ἔποικος ἐπίστιος.
§. XC. Καὶ ὁ δυσφορῶν, ἡμεκτέων.
§. XCI. Καὶ τὸ ἔνιοι, μεταξύτεροί φασι.
§. XCII. Καὶ ὁ ἡσυχάζων, ἐλιννύων.
§. XCIII. Λέγουσι δὲ καὶ τὰ κατὰ δήμους καὶ ἀριθμὸν τῶν τριάκοντα ἀνδρῶν δεῖπα, [τριηκάδας.]
§. XCIV. Καὶ τὸν διανοηθέντα, ἐννόσαντα.
§. XCV. Καὶ τὸ ἀνέπεισεν ἢ ἐδίδαξεν, ἀνέγνωσε.
§. XCVI. Καὶ τὰς βαφὰς, φάρμακα.
§. XCVII. Καὶ τὰ ἁλώματα, τέλη.
§. XCVIII. Λαύρας, τὰς βόμας, ἤγουν τὰς ἀμφόδους.
§. XCIX. Ξαγάρεις, τοὺς πελέκεις, ἢ τὰ ἐκ χειρὸς ὅπλα.
§. C. Ἄρδεις, τὰς φαρέτρας.
§. CI. Φάλαρα, τὰ περὶ τὰς γνάθους σκεπάσματα.
§. CII. Ψῆνας δὲ, τὰ ἐν τοῖς ὀλύνθοις γινόμενα ζωΰφια.
§. CIII. Ἰχνιοτενεῖς δὲ, τὸ μακρὸν καὶ ὀρθόν.
§. CIV. Συμψήσας δὲ λαμβάνουσιν ἀντὶ τοῦ συντρίψας.
§. CV. Αἱμασιὰν δὲ, τὸ ἐκ χαλίκων φκοδομημένον ἄνευ πηλοῦ τειχίον.
§. CVI. Φάρσος, τὸ κλάσμα, τὸ τρύφος, τὸ ἀκροστήριον.
§. CVII. Ταρσοὺς δὲ καλάμων, τὴν τρασιὰν, οὗ ἐξήραινον τὴν πλίνθον.
§. CVIII. Ἔμβολον δὲ, τὸ χάλκωμα τὸ περιτιθέμενον κατὰ πρῷραν ταῖς ναυσίν.
§. CIX. Ἐναγίζειν δὲ, τὸ χοὰς ἐπιφέρειν, ἢ θύειν τοῖς κατοιχομένοις.
§. CX. Πρόχυσιν, τὸ ἀποσπεῖσαι.
§. CXI. Ἔπιπλα, τὴν μὴ βαθεῖαν κτῆσιν, ἀλλ' ἐξ ἐπιπολῆς.
§. CXII. Λεύκην δὲ καλοῦσι πάθος τι περὶ ὅλον τὸ σῶμα.
§. CXIII. Κνυζήματα δὲ, τὰ γοερὰ ἀποφθέγματα.
§. CXIV. Γειωπείνας δὲ, τοὺς γῆς πεινῶντας, καὶ ἀπορουμένους.
§. CXV. Τὸ δὲ ἱκανώσας ἀποσὰς, ὡς καὶ Ἡρόδοτος ἐν τῇ δευτέρᾳ.
§. CXVI. Τὸ δὲ μέτριον καὶ καλῶς ἔχον ἐπιεικέστατόν φασι.
§. CXVII. Τὸ ἀποδεχόμενοι, κάμπτοντες.
§. CXVIII. Κορύνην δὲ λέγουσιν ἐπικαμπές τι ξύλον.
§. CXIX. Εὐμαρέην δὲ, τὴν ἀπόπατον.
§. CXX. Τὰ δὲ ὀπτώμενα, πεσσόμενα.
§. CXXI. Βάρεις δὲ, τὰς ναῦς.
§. CXXII. Ὅσιριν δὲ καλοῦσι τὸν Διόνυσον.
§. CXXIII. Τὰς δὲ ἀλύσεις, ἀφιδέας. οἱ δὲ τὰ ψέλλια.
§. CXXIV. Τὸ δὲ καθαίρειν πόματι ἐκ ζειῶν καὶ ὕδατος, συρμαΐζειν.
§. CXXV. Λῖνον δὲ, φδῆς ὄνομα, ἢ λύρας χορδήν.
§. CXXVI. Θυσάνους δὲ, τοὺς κροσσούς.
§. CXXVII. Ἀποφορὰν δὲ, τὴν τελουμένην παρὰ τῶν δούλων τοῖς δεσπόταις.
§. CXXVIII. Ἤλυσιν δὲ, τὴν πορείαν καὶ ἔφοδον.
§. CXXIX. Συρνέη δὲ παρ' αὐτοῖς ὀνομάζεται λάχανόν τι σελίνῳ ἐοικὸς, ἢ βρῶμα διὰ στέατος καὶ μέλιτος.
§. CXXX. Ἐνηβητήρια δὲ, τὰ εὐωχητήρια.
§. CXXXI. Τριφάσιοι δὲ παρ' αὐτοῖς λέγονται οἱ τριπλάσιοι, τρίφωνοι.
§. CXXXII. Ἀπεματαίσε δὲ τὸ ἐμώρανε σημαίνει.
§. CXXXIII. Ἀποτιμοτέρους δὲ τοὺς ἀτιμοτέρους λέγουσιν.
§. CXXXIV. Ἀφηλικέστερον δὲ, τὸν πρεσβύτερον.
§. CXXXV. Τὸν φανερὸν, ἐπάϊστον.
§. CXXXVI. Φρενήρη, τὸν σώφρονα· λαμβάνουσι δὲ καὶ ἐπὶ τοῦ ἐναντίου.
§. CXXXVII. Καταπροΐξασθαι λέγεται τὸ προῖκα ποιῆσαι.
§. CXXXVIII. Καὶ τὸν καταφανῆ, ἐπίλαμπον.
§. CXXXIX. Λᾶξιν δὲ τὸν μερισμὸν, ἢ τὸν κλῆρον.
§. CXL. Τὸν καπεπονημένον τετρυμένον λέγουσι.
§. CXLI. Τὸ πολεμεῖν, ἀντιάζειν.
§. CXLII. Τὰ αἰδοῖα, μέζεα. Ἡσίοδος·

— — οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο.

Digitized by Google

§. CXLIII. Τὸ καταπαιχθεὶς καὶ γελασθεὶς διαβεβλημένος λέγουσιν. Ἡρόδοτος· « ὃ βασιλεῦ, διαβεβλημένος ὑπὸ Ἀμάσιος οὐ βανθάνεις."

§. CXLIV. Τὸ καλλωπίσας ἀσκήσας λέγουσιν. " ὃς ἐμέ σοι κόσμῳ ἀσκήσας ἀπέπεμψε, ὡς ἑωυτοῦ θυγατέρα."

§. CXLV. Ἔναρες οἱ ὁπλῖται παρ' αὐτοῖς ὀνομάζονται.

§. CXLVI. Διάσφαγες δὲ, αἱ διεστῶσαι πέτραι.

§. CXLVII. Γνωσιμαχεῖν, τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν, τήν τε τῶν ἐναντίων ἰσχύν.

§. CXLVIII. Σισύρα, βαρβαρικὸς χιτών.

§. CXLIX. Ὑβρίζειν, τὸ σκιρτᾶν.

§. CL. Οἰσύπη δὲ, τὸ τῶν ῥυπαρῶν προβάτων ἔριον, καὶ τὸ διαχώρημα τοῦ προβάτου.

§. CLI. Νεοχμῶσαι, τὸ νεωστὶ κινῆσαί τι.

§. CLII. Φερέγγυος, ὁ βεβαιωτής.

§. CLIII. Ἔφεδρος, ὁ ἐπίκληρος.

§. CLIV. Ἀγηλατεύειν, τὸ διώκειν.

§. CLV. Τετραπτερυλλίδες λέγονται παρὰ Ἴωσιν αἱ ἀκρίδες, παρὰ τὸ τέσσαρα ἔχειν πτερὰ, δύο μὲν ἔξω μείζω, ἐλάσσω δὲ ἔντοσθεν ἕτερα δύο.

§. CLVI. Τὸ οὐκ ἰκνεομένως ἀντὶ τοῦ οὐ προσηκόντως, οὐ καθηκόντως.

§. CLVII. Τὸ ἀπεπλίξατο ἀντὶ τοῦ ἀπέφυγε. πλιξ γὰρ τὸ βῆμα, ἐξ οὗ καὶ πλίγματα τὰ πηδήματα. ἔνθεν καὶ τὸ περιβάδην ἀμφιπλιξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος·

Αἱ δ' εὖ μὲν τρόχων, εὖ δὲ πλίσσοντο πόδεσσιν.

§. CLVIII. Καὶ τὸ ψῶσαν ἀντὶ τοῦ θάλπουσαν. ἔστι δὲ παρ' αὐτοῖς καὶ τὸ ψῶ ἀγροικικὸν προσφώνημα.

§. CLIX. Κόλλιξ δέ ἐστιν εἶδος ἄρτου περιφεροῦς, ἐξ οὗ τὰ παρ' ἡμῖν κολλίκια.

§. CLX. Σχοίνων δὲ συμβολεῖς οἱ ψιαθοπλόκοι.

§. CLXI. Καὶ ἰθαγενεῖς οἱ γνήσιοι παῖδες.

§. CLXII. Πρόξενοι δὲ οἱ προστάται τῶν πόλεων καὶ οἱ φροντισταὶ καὶ ξενίαις ὑποδεχόμενοι.

§. CLXIII. Σπαργᾷ, τὸ ὀρέγεται καὶ ἐπιθυμεῖ.

§. CLXIV. Κορδίνημα, τὸ καρηβαρεῖν. γράφεται δὲ καὶ σκορδίνημα.

§. CLXV. Ἴξις δὲ ἡ εὐθυωρία.

§. CLXVI. Ῥοικὸν, τὸ εἶσω νεῦον καὶ στραβὸν, ὃ καὶ ῥοιβδὸν λέγεται.

§. CLXVII. Σαπρὸν, τὸ σεσηπός.

§. CLXVIII. Τὸ δὲ ἐπιπάσσων, παλύνων.

§. CLXIX. Καὶ τὸ περιτεταμένον, περιτενές.

§. CLXX. Τὰ δὲ πρόσφατα, ποταίνια.

§. CLXXI. Βλακὸν, τὸ τρυφερόν.

§. CLXXII. Τοὺς δὲ φρυγανώδεις ἄνθρακας, μαριληνούς. μᾶλλον δὲ ἡ θερμὴ σποδιὰ μαρίλη λέγεται.

§. CLXXIII. Μελεδανθέων δὲ ἀντὶ τοῦ μεριμνῶν, θεραπειῶν. μελεδαίνειν γὰρ λέγεται τὸ μεριμνᾶν.

§. CLXXIV. Μιστύλην δὲ τὸν κοῖλον ἄρτον λέγουσι.

§. CLXXV. Τὸ μυδῶσα, ἐκρέουσα.

§. CLXXVI. Καὶ τὸ δημόσιον, ἐπιδήμιον.

§. CLXXVII. Καὶ τὸ ἐκθλίβειν, βλιμάζειν.

§. CLXXVIII. Καὶ τὸ ἐστέναξεν, ἔμυξε.

§. CLXXIX. Καὶ τὰ τὴν κάτω κοιλίαν καθαίροντα φάρμακα, ἐλατήρια.

§. CLXXX. Τὸ ἐνέδησεν, ἐνεκρίκωσε.

§. CLXXXI. Τὸ εἰς δύο διῃρέθη, ἐδικραιώθη.

§. CLXXXII. Καὶ ἡ εὐθύτης, εὐθυωρία.

§. CLXXXIII. Τὸ ἐτυλώθη, ἐμυλώθη.

§. CLXXXIV. Τὸ ἐγχρίπτει, ἐμπηδᾷ.

§. CLXXXV. Τὸ ἐκτρόπως καὶ παραδόξως, ἐκπατίως.

§. CLXXXVI. Τὸ εὐφορώτερον, ἐπιτροχώτερον.

§. CLXXXVII. Τὸν μύλωνα, ζώτειον.

§. CLXXXVIII. Τὸ ὡμοιωμένον, ἠδελφισμένον.

§. CLXXXIX. Τὸν πυρετὸν, θερμωλήν.

§. CXC. Θαλάμας, τὰς καταδύσεις.

§. CXCI. Καὶ θρίσσειν, τὸ κατὰ ψυχὴν ἐξίστασθαι, ἤτοι τὸ μαίνεσθαι.

Digitized by Google

III.

GRAMMATICI LEIDENSIS

[ΠΕΡΙ ΙΑΔΟΣ.]

§. I. Ἰάς ἐστι διάλεκτος ἣ κέχρηνται Ἴωνες. δοκεῖ δὲ ἀρχαία εἶναι αὐτοῖς.

§. II. Ἴδιον δέ ἐστιν αὐτῆς ἀντὶ τοῦ α [τῷ] η χρήσασθαι· καὶ περισπωμένας συλλαβὰς εἰς δύο διαιρεῖν· καὶ ἀντὶ τοῦ π τὸ κ λαμβάνειν· καὶ ἀντὶ τῶν δασυνουσῶν συναλοιφῶν ψιλότητας ἐκφέρειν· καὶ ἐπί τινων λέξεων τὸ ι ὑπεξαιρεῖν.

§. III. Χρῶνται μὲν οὖν τῷ η ἀντὶ τοῦ α, ὅταν λέγωσι θύρην ἀντὶ τοῦ θύραν, καὶ ἠμετέρην ἀντὶ τοῦ ἡμετέραν, καὶ ὠφελείην ἀντὶ τοῦ ὠφέλειαν.

§. IV. Τὰς περισπωμένας συλλαβὰς διαιροῦσιν, ὅταν ἀντὶ τοῦ ποιεῖν ποιέειν λέγωσιν.

§. V. Καὶ ἀντὶ τοῦ πῶς τὸ κῶς.

§. VI. Ἀντὶ δὲ τῶν δασυνουσῶν συναλοιφῶν ψιλότητας ἐκφέρουσιν, ὅταν λέγωσιν ἐπ' ἵππον, ἀντὶ [τοῦ] ἐφ' ἵππον, καὶ ἐπορᾶν, ἀντὶ τοῦ ἐφορᾶν.

§. VII. Ἐπὶ δέ τινων λέξεων τὸ ι ὑπεξαιροῦσιν, ὅταν λέγωσιν ἀντὶ τοῦ πανεῖσθαι πονέεσθαι καὶ ὀνέεσθαι.

§. VIII. Γεγόνασι δὲ αὐτῆς μεταπτώσεις Δ.

§. IX. Κέχρηται δὲ αὐτῇ Ὅμηρός τε καὶ Ἡσίοδος, καὶ πολλοὶ ἐποποιοί, καὶ Ἀνακρέων, καὶ Ἱππῶναξ, καὶ Ἡρόδοτος ὁ ἱστοριογράφος, καὶ Δημόκριτος ὁ φυσικός, καὶ Ἱπποκράτης ὁ ἰατρός.

IV.

GRAMMATICI MEERMANNIANI

[ΠΕΡΙ ΙΑΔΟΣ.]

§. I. Οἱ Ἴωνες τρέπουσιν ἀεὶ τὰ δασέα εἰς ψιλὰ, καὶ τὰ ψιλὰ εἰς δασέα· οἷον χιτὼν κιθὼν, ἀκάνθιον ἀχάντιον, καὶ βάτραχος βάθρακος, καὶ τὰ ὅμοια.

§. II. Τὰ εἰς ας λήγοντα ὀνόματα, ἐὰν μὴ ὦσι Δωρικὰ, εἰς ης τρέπουσιν· οἷον Ἑρμείας Ἑρμείης. Σωσίας Σωσίης.

§. III. Τὰ εἰς ης λήγοντα, ὧν ἡ γενικὴ εἰς ους περατοῦται, παρ' Ἴωσιν εἰς εος περατοῦται· οἷον Δημοσθένους Δημοσθένεος, εὐσεβοῦς εὐσεβέος· τὴν δὲ αἰτιατικὴν εἰς εα, Δημοσθένεα.

§. IV. Τὰς εἰς ευς λήγούσας εὐθείας διὰ τοῦ ηος προφέρει, βασιλεὺς βασιλῆος.

§. V. Τὰς εἰς ος λήγούσας εὐθείας τῶν οὐδετέρων διὰ τοῦ εος ἐκφέρουσιν· οἷον πλῆθος πλήθεος, τεῖχος τείχεος.

§. VI. Τὰς εἰς αι πληθυντικὰς ἐπὶ γενικῆς διὰ τοῦ εων προφέρει, Πέρσαι Περσέων, Νύμφαι Νυμφέων. τὸ γὰρ Περσάων, Νυμφάων, Αἰολικόν ἐστι.

§. VII. Τὰς εἰς αις λήγούσας πληθυντικὰς δοτικὰς ἀμοιβῇ τοῦ α εἰς η, καὶ ὑπερβιβασμῷ τοῦ ι, ἐκφέρουσιν· οἷον καλαῖς καλῇσι, Νύμφαις Νύμφῃσι.

§. VIII. Τὰς εἰς α εὐθείας εἰς η τρέπουσιν· οἷον Ἥρα Ἥρη, χώρα χώρη, ὥρα ὥρη, σπεῖρα σπείρη.

Digitized by Google

§. IX. Ἐνίων λέξεων ἐξαιρεῖ τὸ ι. τὸ γὰρ πονεῖσθαι πονέσθαι λέγει, καὶ τὸ κλονεῖσθαι κλονέσθαι.

§. X. Τὰ εἰς ις λήγοντα θηλυκὰ οὐδέποτε διὰ τοῦ ω, ἀλλὰ διὰ τοῦ ο κλίνει· οἷον γνῶσις γνώσιος, σχέσις σχέσιος.

§. XI. Αἱ ἐξαιρέσεις τοῦ ι ἐκ τῆς ει διφθόγγου Ἰώνων εἰσίν· ὡς τὸ Ἕκτόρειος Ἑκτόρεος, χρύσειος χρύσεος.

§. XII. Τὰς εἰς ς ληγούσας εἰθείας πληθυντικὰς διαιρεῖ. καὶ τὰς μὲν ἀπὸ τῆς ευς οἷον ἅδρας διὰ τοῦ η προφέρουσι, βασιλεὺς βασιλῆες· ἀπὸ δὲ τῶν εἰς ης, διὰ τοῦ ε· οἷον ἀτρεκὴς ἀτρεκέες, ἀληθὴς ἀληθέες. ὁμοίως καὶ τὰς ἀπὸ τῶν εἰς υς· ὀξὺς ὀξέες.

§. XIII. Αἱ προσθέσεις τοῦ ι, τοῦ ε ἐπιφερομένου, Ἰώνων· κενὴ κεινὴ, στενὴ στεινή.

§. XIV. Ὁμοίως καὶ ἡ ἐναλλαγὴ τῆς οι διφθόγγου εἰς τὴν ες· ὡς τὸ ἐρίηρες ἐρίηροι, υἱὲες υἱοί.

§. XV. Τὰ εἰς η πληθυντικὰ οὐδέτερα διαιρεῖ εἰς εα· τείχη τείχεα, βέλη βέλεα· καὶ τὰς γενικὰς ὁμοίως· τειχέων, βελέων.

§. XVI. Τὸ υ τοῖς ὀνόμασι πολλάκις προστίθησιν· ὄνομα οὔνομα, νόσος νοῦσος, ὄρος οὖρος.

§. XVII. Τὸ δισσὸν σ εἰς ξ τρέπει· δισσὸν διξόν.

§. XVIII. Τὸ ι τῶν ῥημάτων ἐξαιρεῖ πολλάκις, καὶ τῶν ὀνομάτων, δείξω δέξω λέγουσα, καὶ τὸ δειλὸς δελὸς, καὶ ἀπόδεξιν.

§. XIX. Τῶν μετοχῶν τὰς παθητικὰς, τὰς εἰς ος ληγούσας, διαιρεῖ, λυπούμενος λυπεόμενος, μαχούμενος μαχεόμενος.

§. XX. Τὰς εἰς ων ληγούσας μετοχὰς ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων γινομένας διαιρεῖ, ὧν τὸ προστακτικὸν εἰς τὴν ει δίφθογγον λήγει. φρονῶν φρονέων, νοῶν νοέων, φρόνει γὰρ καὶ νόει ἢν τὸ προστακτικόν. ὁμοίως καὶ τὰ ἀπ' αὐτῶν ῥήματα διαιρεῖ, φρονέω καὶ νοέω.

§. XXI. Τῷ ω ἀντὶ τοῦ α προφέρει· οἷον ἄνθρωπος ἄνθρωπος, ἄλλοι ἄλλοι.

§. XXII. Τῷ ω μέγα ἀντὶ τῆς ου διφθόγγου ἐκφέρει· οἷον καῦμα κῶμα, θαῦμα θῶμα.

§. XXIII. Ἡ τροπὴ τοῦ η εἰς α βραχὺ τῶν αὐτῶν· οἷον μεμακυῖα, καὶ λελασμένος, καὶ ἄπλαστος.

§. XXIV. Αἱ ἀφαιρέσεις τῶν πρώτων στοιχείων τῶν ὀνομάτων, Ἰώνων· οἷον ἐκεῖνος κεῖνος, ἑορτὴ ὄρτη, ἱερὸς ἰρός.

§. XXV. Τὸ ε τῶν παρελθόντων ἀφαιροῦνται· ἔτευχε τεῦχε, ἔτικτε τίκτε.

§. XXVI. Ἀντὶ δὲ ταῖς καλαῖς, καὶ σοφαῖς, καὶ πύλαις, καλῇσι λέγουσι, καὶ σοφῇσι, καὶ πύλῃσι, τὸ ι ὧῶντες κατὰ χώραν μένειν.

§. XXVII. Πλεονάζει δὲ παρ' αὐτοῖς τὸ ι ἐν ταῖς πληθυντικαῖς δοτικαῖς ἀρσενικῶν πτώσεων εἰς οις ληγούσαις· σοφοῖς σοφοῖσι, καλοῖς καλοῖσι.

§. XXVIII. Διαίρεσις δὲ γίνεται παρ' αὐτοῖς οὐ μόνον ἐπὶ τῶν δισυλλάβων ὀνομάτων, ἀλλ' ἤδη καὶ ἐπὶ τῶν μονοσυλλάβων· βοῦς βόος, χνοῦς χνόος, θροῦς θρόος.

§. XXIX. Τῶν εἰς ης ληγόντων ἀρσενικῶν διὰ τοῦ εω γράφουσιν· Ἀτρείδεω, Λαέρτεω, Πηλείδεω, καὶ κατὰ παρένθεσιν Πηλειάδεω, καὶ τὰ ὅμοια.

§. XXX. Τὰς δὲ εἰς ους ληγούσας γενικὰς εἰς τὸ ε καὶ τὸ ο διαιροῦσι· Σωκράτεος, Διομήδεος.

§. XXXI. Καὶ τὰς δοτικὰς δὲ μόνας διαιροῦσι, Σωκράτεϊ λέγοντες καὶ Διομήδεϊ. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν οὐδετέρων· ἔγχεϊ, τείχεϊ, ξίφεϊ.

§. XXXII. Καὶ τὰ εἰς ευ πληθυντικὰ ὀνόματα θηλυκὰ, ὧν ἡ γενικὴ παρ' ἡμῖν καταλήγει εἰς ων περισπωμένως, ἐκεῖνοι διὰ τοῦ αων προφέρουσι παροξυντόνως. κρῆναι κρηνῶν κρηνάων.

§. XXXIII. Χρῶνται δὲ καὶ τοῖς ἀπαρεμφάτοις ἀντὶ προστακτικῶν. τανύσαι τάνυσον, κεῖσαι κεῖσον.

§. XXXIV. Καὶ τοὺς σχηματισμοὺς δὲ τῆς ἑρμηνείας τοιούτους· τετραμμένοι εἰσὶ, τετράφαται· τετευγμένοι εἰσὶ, τετάχαται· κεκλίαται.

Digitized by Google

V.

GRAMMATICI AUGUSTANI FRAGMENTUM

[ΠΕΡΙ ΙΑΔΟΣ.]

§. I. . . . . ξρίηροι, καὶ υἱέες ἀντὶ τοῦ υἱοὶ καὶ υἱεῖς.

§. II. Τὰ εἰς η πληθυντικὰ οὐδέτερα διαιρεῖ εἰς εα· τείχεα. καὶ γενικὴ, τειχέων.

§. III. Τὸ υ ἀεὶ προστίθησι ταῖς λέξεσιν. ὄρος οὖρος, ὄνομα οὔνομα.

§. IV. Τὸ δισσὸν σ εἰς ξ τρέπει. δισσὰ διξά.

§. V. Τῶν λέξεων ἐξαιρεῖ τὸ ι πολλάκις. τὸ γὰρ δείξω δέξω λέγει, καὶ ἀπόδεξιν.

§. VI. Τῶν μετοχῶν τὰς παθητικὰς διαιρεῖ. λυπούμενος λυπεόμενος, ποιεόμενος.

§. VII. Τὰς εἰς ων ληγούσας μετοχὰς ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων διαιρεῖ. φρονῶν φρονέων.

§. VIII. Τὸν οὖν σύνδεσμον ἂν λέγει.

§. IX. Τῶν ῥη . . . . συνθέσεις δασυνόμενα διὰ ψιλῶν προφέρεται συμφώνων. καθο . . . κατορῶ.

§. X. Τοῖς ἄρθροις τοῖς προτακτικοῖς ἀντὶ τῶν ὑποτακτικῶν . . . . . τὸν θέλω ἀντὶ τοῦ ὃν θέλω. τὴν ἔπεμψα ἀντὶ τοῦ ἣν ἔπεμψα.

§. XI. Τ . . . . . τρέπεται, οἷον ὁκότε ὁποτε (sic) καὶ τὸ ποῦ κοῦ λέγει. καὶ τὸ ὁποῖος ὁκοῖος.

§. XII. Τῷ ω ἀντὶ τοῦ α κέχρηται. τὸν γὰρ ἄνθρωπον ἄνθρωπον λέγει . . . τὸν ἄριστον ὥριστον λέγει.

§. XIII. Τῷ ω ἀντὶ τῆς αυ διφθόγγου κέχρηται. τὸ γὰρ θαῦμα θῶμα λέγει.

§. XIV. Αἱ τμήσεις Ἰώνων εἰσὶν ἴδιαι. Πέλοπος νῆσος ἀντὶ τοῦ Πελοπόννησος. ἄγριον αἶγα ἀντὶ τοῦ αἴγαγρον.

§. XV. Αἱ παραλήψεις τῶν ἀπαρεμφάτων ἀντὶ προστακτικῶν Ἰώνων εἰσίν.
ἐλθὲν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο
πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν.
ἀντὶ τοῦ ἀγόρευε.

§. XVI. Αἱ παραλήψεις τῶν ἀρσενικῶν εὐθειῶν ὀνομάτων ἀντὶ γενικῶν Ἰώνων εἰσίν.
οἱ δὲ δύο σκόπελοι ——
ἀντὶ τοῦ τῶν δύο σκοπέλων. καὶ τό·
ἄμφω δ' ἐξομένω ——
ἀντὶ τοῦ ἀμφοτέρων.

§. XVII. Αἱ μεταβολαὶ τοῦ η εἰς α βραχὺ Ἰώνων εἰσί. μεμηκυῖα μεμακυῖα, λελησμένος λελασμένος.

§. XVIII. Αἱ ἀναλλαγαὶ τοῦ α μακροῦ εἰς η Ἰώνων εἰσὶ τῶν πάλαι. Ἥρα Ἥρη. τοῦ δὲ α βραχέος τῶν νεωτέρων. ἀληθείην ἀντὶ τοῦ ἀλήθειαν.

§. XIX. Αἱ ἀφαιρέσεις αἱ κατ' ἀρχὴν Ἰώνων εἰσί. λεῖβεν εἶβεν.

§. XX. Ἀεὶ τὴν ων συλλαβὴν περιττὴν οὖσαν μεταξὺ τῶν προθέσεων τίθησιν . . . ἐξ ὧν (sic) εἶλον, ἀπ' ὧν ἵκοντο, ἀντὶ τοῦ ἐξεῖλον καὶ ἀπίκοντο.

§. XXI. Τὰ πρῶτα στοιχεῖα τῶν λέξεων ἀφαιρεῖται· ἐκεῖνοι κεῖνοι, ἑορτὴ ὁρτή.

§. XXII. Τὸ προσερχόμενον ε κατὰ τὸν ἐνεστῶτα καὶ παρεληλυθότα ἀποπιπτόμενον . . . . τίκτεν, λέγεν, τρέχεν, ἀντὶ τοῦ ἔτικτεν, ἔλεγεν, ἔτρεχεν.
τῶν τῆσδ' ἀπειλῶν οὔνεχ' ἡμερεύσομεν.
ἀντὶ τοῦ βιώσομεν τὴν ζωήν . . . . βιβαζομεν . . .

§. XXIII. Τ . . . . . κόμην ἀπικόμην. ἀφεῖλεν ἀπεῖλεν.

§. XXIV. Τὰ σύνθετα ῥήματα διαλύει καὶ μεταξὺ αὐτῶν . . . . λαμβα . . . ἀντέβραμον καὶ ἀνταπέδοντο.

§. XXV. Ἐν τοῖς τρίτοις προσώποις ἡ νέα τῶν Ἰώνων διάλεκτος καὶ ἐν ταῖς δοτικαῖς πληθυντικαῖς τὸ ν ἐφελκυστικὸν οὐ . . . . . εἰ μὴ χάριν μέτρου.

FINIS.

Digitized by Google

THE FOLLOWING PLAYS OF

EURIPIDES AND SOPHOCLES,

PRINTED FOR

R. PRIESTLEY, 143, HIGH HOLBORN,

LONDON.

EURIPIDIS ANDROMACHE, Gr. et Lat. cum notis Variorum, Barnesii, Beckii, Porsoni, &c. 8vo. 8s.

EURIPIDIS IPHIGENIA in AULIDE, Gr. et Lat. cum notis Variorum, Barnes. Beck. Porson. &c. 8vo. 9s.

EURIPIDIS IPHIGENIA in TAURIS, Gr. et Lat. cum notis Variorum, Barnes. Beck. Porson. &c. 8vo. 9s.

EURIPIDIS ELECTRA, Gr. et Lat. cum notis Variorum, &c. 8vo. 8s.

EURIPIDIS TROADES, Gr. et Lat. cum notis Variorum, &c. 8vo. 8s.

EURIPIDIS CYCLOPS, Gr. et Lat. cum notis Variorum, &c. 8vo. 5s.

EURIPIDIS ION, Gr. et Lat. cum notis Variorum, &c. 8vo. 8s.

EURIPIDIS HERCULES FURENS, Gr. et Lat. cum notis Variorum, &c. 8vo. 8s.

EURIPIDIS (ut aiunt) RHESUS, Gr. et Lat. cum notis Variorum, Barnes. Beck. Porson. &c. 8vo. 8s.

SOPHOCLIS PHILOCTETES, Græce, ex recensione et cum notis Brunckii. Accedunt Scholia Græca, textui nunc primum subjecta. 8vo. 3s. 6d.

SOPHOCLIS ELECTRA, Græce, ex recensione et cum notis Brunckii. Accedunt Scholia Græca, textui nunc primum subjecta. 8vo. 3s. 6d.

SOPHOCLIS ŒDIPUS TYRANNUS, Græce, ex recensione et cum notis Brunckii. Accedunt Scholia Græca, textui nunc primum subjecta, et Schæferi Annotatio Integra. 8vo. 3s. 6d.

SOPHOCLIS ŒDIPUS COLONEUS, Græce, ex recensione et cum notis Brunckii. Accedunt Scholia Græca, textui nunc primum subjecta, et Schæferi Annotatio Integra, 8vo. 3s. 6d.

SOPHOCLIS ANTIGONE, Græce, ex recensione et cum notis Brunckii. Accedunt Scholia Græca, textui nunc primum subjecta, Schæferi Annotatio Integra, et Index Græco-Latinus. 8vo. 3s. 6d.

Digitized by Google

Likewise the following separate Pieces from the works of Æschines, Demosthenes, and Cicero.

ÆSCHINIS et DEMOSTHENIS de CORONA ORATIONES, Græce; cum notis Variorum, Wolfii, H. Stephani, Bredæi, Palmerii, Taylori, Marklandi, Stockii, Harlesii, Augerii, Wunderlichii, aliorumque congestis, edidit G. S. D. A. M. Tertii, qui Bekkeri est, apposita est Lectio, tum Reiskiana, tum Taylorana. 8vo. 9s.

DEMOSTHENIS et ÆSCHINIS de FALSA LEGATIONE ORATIONES ADVERSARIÆ, Græce, cum notis Varr. 8vo. 9s.

DEMOSTHENIS adversus LEPTINEM ORATIO, Græce, cum notis Varr. 8vo. 6s.

DEMOSTHENIS contra MIDIAM ORATIO, Græce, cum notis Varr. 8vo. 6s.

DEMOSTHENIS contra ANDROTIONEM et TIMOCRATEM ORATIONES, Græce, cum notis Varr. 8vo. 5s.

M. TULLII CICERONIS ORATIONES, Ernesti, 2 vols. 1l. 16s.

M. TULLII CICERONIS EPISTOLÆ ad DIVERSOS (FAMILIARES), Ernesti, 14s.

M. TULLII CICERONIS EPISTOLÆ ad ATTICUM, Q. FRATREM, et BRUTUM, Ernesti, 14s.

M. TULLII CICERONIS DE OFFICIIS, DE SENECTUTE, et DE AMICITIA, cum SOMN. SCIP. Ernesti, 7s.

M. TULLII CICERONIS DE SENECTUTE, DE AMICITIA, et SOMN. SCIP. Ernesti, 4s.

HERODOTUS: Græce, edidit Schweighæuser, neatly printed by Davison in 2 vols. 8vo. 1*l.* 4s.

This edition contains the Life of Homer, and the *Eclogæ* from *Ctesiæ*, which have been usually omitted in reprints from Schweighæuser's Herodotus. The *Glossæ Herodoteæ* are added, and the *Geographiæ Herodoteæ* of Bredow, Hennicke, Breiger, and Frommichen; as also the *Scholia, Variæque Lectiones e Codice Palatino* N. 129, appended to the *Commentationes Herodoteæ* of Creuzer, and a *Tabula Chronologica* from Larcher.

HERODOTUS, Latine, ex editione Schweighæuseri, 8vo. 10s. 6d.

WESSELINGII, VALCKENÆRII, SCHWEIGHÆUSERI, in Herodotum Adnotationes Omnes. 2 vols. 8vo. 1*l.* 11s. 6d.

These Annotations will not only match the edition of Herodotus before mentioned, but likewise *all* the octavo editions that have been printed in this country; not one of them having any notes.

LONDINI: IN ÆDIBUS VALPIANIS.

Digitized by Google

Digitized by Google

Likewise the following separate Pieces from the works of Æschines, Demosthenes, and Cicero.

ÆSCHINIS et DEMOSTHENIS de CORONA ORATIONES, Græce; cum notis Variorum, Wolfii, H. Stephani, Brodæi, Palmerii, Taylori, Marklandi, Stockii, Harlesii, Augeri, Wunderlichii, aliorumque congestis, edidit G. S. D. A. M. Textui, qui Bekkeri est, apposita est Lectio, tum Reiskiana, tum Taylorana. 8vo. 9s.

DEMOSTHENIS et ÆSCHINIS de FALSA LEGATIONE, ORATIONES ADVERSARIÆ, Græce, cum notis Varr. 8vo. 9s.

DEMOSTHENIS adversus LEPTINEM ORATIO, Græce, cum notis Varr. 8vo. 6s.

DEMOSTHENIS contra MIDIAM ORATIO, Græce, cum notis Varr. 8vo. 6s.

DEMOSTHENIS contra ANDROTIONEM et TIMOCRATEM ORATIONES, Græce, cum notis Varr. 8vo. 5s.

M. TULLII CICERONIS ORATIONES, ERNESTI, 2 vols. 1l. 16s.

M. TULLII CICERONIS EPISTOLÆ ad DIVERSOS (FAMILIARES), ERNESTI, 14s.

M. TULLII CICERONIS EPISTOLÆ ad ATTICUM, Q. FRATREM, et BRUTUM, ERNESTI, 14s.

M. TULLII CICERONIS DE OFFICIIS, DE SENECTUTE, et DE AMICITIA, cum SOMN. SCIP. ERNESTI, 7s.

M. TULLII CICERONIS DE SENECTUTE, DE AMICITIA, et SOMN. SCIP. ERNESTI, 4s.

HERODOTUS: Græce, edidit SCHWEIGHÆUSER, neatly printed by Davison in 2 vols. 8vo. 1*l.* 4s.

This edition contains the Life of Homer, and the *Eclogæ* from *Ctesias*, which have been usually omitted in reprints from Schweighæuser's Herodotus. The *Glossæ Herodoteæ* are added, and the *Geographiæ Herodoteæ* of Bredow, Hennicke, Breiger, and Frommichen; as also the *Scholia*, *Variæque Lectiones e Codice Palatino* N. 129, appended to the *Commentationes Herodoteæ* of Creuzer, and a *Tabula Chronologica* from Larcher.

HERODOTUS, Latine, ex editione SCHWEIGHÆUSERI, 8vo. 10s. 6d.

WESSELINGII, VALCKENÆRII, SCHWEIGHÆUSERI, in Herodotum Adnotationes Omnes. 2 vols. 8vo. 1*l.* 11s. 6d.

These Annotations will not only match the edition of Herodotus before mentioned, but likewise *all* the octavo editions that have been printed in this country; not one of them having any notes.

LONDINI: IN ÆDIBUS VALPIANIS.

Digitized by Google

Digitized by Google

Likewise the following separate Pieces from the works of Æschines, Demosthenes, and Cicero.

ÆSCHINIS et DEMOSTHENIS de CORONA ORATIONES, Græce; cum notis Variorum, Wolfii, H. Stephani, Brodæi, Palmerii, Taylori, Marklandi, Stockii, Harlesii, Augeri, Wunderlichii, aliorumque congestis, edidit G. S. D. A. M. Textui, qui Bekkeri est, apposita est Lectio, tum Reiskiana, tum Taylorana. 8vo. 9s.

DEMOSTHENIS et ÆSCHINIS de FALSA LEGATIONE, ORATIONES ADVERSARIÆ, Græce, cum notis Varr. 8vo. 9s.

DEMOSTHENIS adversus LEPTINEM ORATIO, Græce, cum notis Varr. 8vo. 6s.

DEMOSTHENIS contra MIDIAM ORATIO, Græce, cum notis Varr. 8vo. 6s.

DEMOSTHENIS contra ANDROTIONEM et TIMOCRATEM ORATIONES, Græce, cum notis Varr. 8vo. 5s.

M. TULLII CICERONIS ORATIONES, ERNESTI, 2 vols. 1l. 16s.

M. TULLII CICERONIS EPISTOLÆ ad DIVERSOS (FAMILIARES), ERNESTI, 14s.

M. TULLII CICERONIS EPISTOLÆ ad ATTICUM, Q. FRATREM, et BRUTUM, ERNESTI, 14s.

M. TULLII CICERONIS DE OFFICIIS, DE SENECTUTE, et DE AMICITIA, cum SOMN. SCIP. ERNESTI, 7s.

M. TULLII CICERONIS DE SENECTUTE, DE AMICITIA, et SOMN. SCIP. ERNESTI, 4s.

HERODOTUS: Græce, edidit SCHWEIGHÆUSER, neatly printed by Davison in 2 vols. 8vo. 1*l.* 4s.

This edition contains the Life of Homer, and the *Eclogæ* from *Ctesias*, which have been usually omitted in reprints from Schweighæuser's Herodotus. The *Glossæ Herodoteæ* are added, and the *Geographiæ Herodoteæ* of Bredow, Hennicke, Breiger, and Frommichen; as also the *Scholia, Variæque Lectiones e Codice Palatino* N. 129, appended to the *Commentationes Herodoteæ* of Creuzer, and a *Tabula Chronologica* from Larcher.

HERODOTUS, Latine, ex editione SCHWEIGHÆUSERI, 8vo. 10s. 6d.

WESSELINGII, VALCKENÆRII, SCHWEIGHÆUSERI, in Herodotum Adnotationes Omnes. 2 vols. 8vo. 1*l.* 11s. 6d.

These Annotations will not only match the edition of Herodotus before mentioned, but likewise *all* the octavo editions that have been printed in this country; not one of them having any notes.

LONDINI: IN ÆDIBUS VALPIANIS.

Digitized by Google

Digitized by Google

Likewise the following separate Pieces from the works of Æschines, Demosthenes, and Cicero.

ÆSCHINIS et DEMOSTHENIS de CORONA ORATIONES, Græce; cum notis Variorum, Wolfii, H. Stephani, Brodæi, Palmerii, Taylori, Marklandi, Stockii, Harlesii, Augeri, Wunderlichii, aliorumque congestis, edidit G. S. D. A. M. Tertui, qui Bekkeri est, apposita est Lectio, tum Reiskiana, tum Taylorana. 8vo. 9s.

DEMOSTHENIS et ÆSCHINIS de FALSA LEGATIONE, ORATIONES ADVERSARIÆ, Græce, cum notis Varr. 8vo. 9s.

DEMOSTHENIS adversus LEPTINEM ORATIO, Græce, cum notis Varr. 8vo. 6s.

DEMOSTHENIS contra MIDIAM ORATIO, Græce, cum notis Varr. 8vo. 6s.

DEMOSTHENIS contra ANDROTIONEM et TIMOCRATEM ORATIONES, Græce, cum notis Varr. 8vo. 5s.

M. TULLII CICERONIS ORATIONES, ERNESTI, 2 vols. 1l. 16s.

M. TULLII CICERONIS EPISTOLÆ ad DIVERSOS (FAMILIARES), ERNESTI, 14s.

M. TULLII CICERONIS EPISTOLÆ ad ATTICUM, Q. FRATREM, et BRUTUM, ERNESTI, 14s.

M. TULLII CICERONIS DE OFFICIIS, DE SENECTUTE, et DE AMICITIA, cum SOMN. SCIP. ERNESTI, 7s.

M. TULLII CICERONIS DE SENECTUTE, DE AMICITIA, et SOMN. SCIP. ERNESTI, 4s.

HERODOTUS: Græce, edidit SCHWEIGHÆUSER, neatly printed by Davison in 2 vols. 8vo. 1*l.* 4s.

This edition contains the Life of Homer, and the *Eclogæ* from *Ctesias*, which have been usually omitted in reprints from Schweighæuser's Herodotus. The *Glossæ Herodoteæ* are added, and the *Geographiæ Herodoteæ* of Bredow, Hennicke, Breiger, and Frommichen; as also the *Scholia, Variæque Lectiones e Codice Palatino* N. 129, appended to the *Commentationes Herodoteæ* of Creuzer, and a *Tabula Chronologica* from Larcher.

HERODOTUS, Latine, ex editione SCHWEIGHÆUSERI, 8vo. 10s. 6d.

WESSELINGII, VALCKENÆRII, SCHWEIGHÆUSERI, in Herodotum Adnotationes Omnes. 2 vols. 8vo. 1*l.* 11s. 6d.

These Annotations will not only match the edition of Herodotus before mentioned, but likewise *all* the octavo editions that have been printed in this country; not one of them having any notes.

LONDINI: IN ÆDIBUS VALPIANIS.

Digitized by Google

Digitized by Google

Likewise the following separate Pieces from the works of Æschines, Demosthenes, and Cicero.

ÆSCHINIS et DEMOSTHENIS de CORONA ORATIONES, Græce; cum notis Variorum, Wolfii, H. Stephani, Brodæi, Palmerii, Taylori, Marklandi, Stockii, Harlesii, Augeri, Wunderlichii, aliorumque congestis, edidit G. S. D. A. M. Textui, qui Bekkeri est, apposita est Lectio, tum Reiskiana, tum Taylorana. 8vo. 9s.

DEMOSTHENIS et ÆSCHINIS de FALSA LEGATIONE, ORATIONES ADVERSARIÆ, Græce, cum notis Varr. 8vo. 9s.

DEMOSTHENIS adversus LEPTINEM ORATIO, Græce, cum notis Varr. 8vo. 6s.

DEMOSTHENIS contra MIDIAM ORATIO, Græce, cum notis Varr. 8vo. 6s.

DEMOSTHENIS contra ANDROTIONEM et TIMOCRATEM ORATIONES, Græce, cum notis Varr. 8vo. 5s.

M. TULLII CICERONIS ORATIONES, ERNESTI, 2 vols. 1*l.* 16s.

M. TULLII CICERONIS EPISTOLÆ ad DIVERSOS (FAMILIARES), ERNESTI, 14s.

M. TULLII CICERONIS EPISTOLÆ ad ATTICUM, Q. FRATREM, et BRUTUM, ERNESTI, 14s.

M. TULLII CICERONIS DE OFFICIIS, DE SENECTUTE, et DE AMICITIA, cum SOMN. SCIP. ERNESTI, 7s.

M. TULLII CICERONIS DE SENECTUTE, DE AMICITIA, et SOMN. SCIP. ERNESTI, 4s.

HERODOTUS: Græce, edidit SCHWEIGHÆUSER, neatly printed by Davison in 2 vols. 8vo. 1*l.* 4s.

This edition contains the Life of Homer, and the *Eclogæ* from *Ctesias*, which have been usually omitted in reprints from Schweighæuser's Herodotus. The *Glossæ Herodoteæ* are added, and the *Geographiæ Herodoteæ* of Bredow, Hennicke, Breiger, and Frommichen; as also the *Scholia, Variæque Lectiones e Codice Palatino* N. 129, appended to the *Commentationes Herodoteæ* of Creuzer, and a *Tabula Chronologica* from Larcher.

HERODOTUS, Latine, ex editione SCHWEIGHÆUSERI, 8vo. 10s. 6d.

WESSELINGII, VALCKENÆRII, SCHWEIGHÆUSERI, in Herodotum Adnotationes Omnes. 2 vols. 8vo. 1*l.* 11s. 6d.

These Annotations will not only match the edition of Herodotus before mentioned, but likewise *all* the octavo editions that have been printed in this country; not one of them having any notes.

LONDINI: IN ÆDIBUS VALPIANIS.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

This book should be returned to the Library on or before the last date stamped below.

A fine of five cents a day is incurred by retaining it beyond the specified time.

Please return promptly.

WIDENER
CANCELLED
JUL 2 1987
FEB 27 1987
8 22752

Digitized by Google

Digitized by Google